ἐξηλαύνοντο δὲ ὑπὸ πάντων τῶν Ἑλλήνων, αἰσχυνομέ-
νων μὲν τοῖς ἔργοις, φοβουμένων δὲ τὴν Εὐρυσθέως
δύναμιν, ἀφικόμενοι εἰς τήνδε τὴν πόλιν ἱκέται ἐπὶ τῶν
12 βωμῶν ἐκαθέζοντο· ἐξαιτουμένου δὲ αὐτοὺς Εὐρυσθέως
Ἀθηναῖοι οὐκ ἠθέλησαν ἐκδοῦναι, ἀλλὰ τὴν Ἡρακλέους
ἀρετὴν μᾶλλον ᾐδοῦντο ἢ τὸν κίνδυνον τὸν ἑαυτῶν ἐφο-
Isocr. IV 53 ] βοῦντο, καὶ ἠξίουν ὑπὲρ τῶν ἀσθενεστέρων μετὰ τοῦ
δικαίου διαμάχεσθαι μᾶλλον ἢ τοῖς δυναμένοις χαριζό-
13 μενοι τοὺς ὑπ' ἐκείνων ἀδικουμένους ἐκδοῦναι. ἐπιστρα-
τεύσαντος δ' Εὐρυσθέως μετὰ τῶν ἐν ἐκείνῳ τῷ χρόνῳ
Πελοπόννησον ἐχόντων, οὐκ ἐγγὺς τῶν δεινῶν γενόμε-
νοι μετέγνωσαν, ἀλλὰ τὴν αὐτὴν εἶχον γνώμην ἥνπερ
πρότερον, ἀγαθὸν μὲν οὐδὲν ἰδίᾳ ὑπὸ τοῦ πατρὸς αὐτῶν
πεπονθότες, ἐκείνους τ' οὐκ εἰδότες ὁποῖοί τινες ἄνδρες
14 ἔσονται γενόμενοι· δίκαιον δὲ νομίζοντες εἶναι, οὐ προ-
τέρας ἔχθρας ὑπαρχούσης πρὸς Εὐρυσθέα, οὐδὲ κέρδους
προκειμένου πλὴν δόξης ἀγαθῆς, τοσοῦτον κίνδυνον ὑπὲρ
αὐτῶν ἤραντο, τοὺς μὲν ἀδικουμένους ἐλεοῦντες, τοὺς
δ' ὑβρίζοντας μισοῦντες, καὶ τοὺς μὲν κωλύειν ἐπιχει-
ροῦντες, τοῖς δ' ἐπικουρεῖν ἀξιοῦντες, ἡγούμενοι ἐλευ-
θερίας μὲν σημεῖον εἶναι μηδὲν ποιεῖν ἄκοντας, δικαιο-
σύνης δὲ τοῖς ἀδικουμένοις βοηθεῖν, εὐψυχίας δ' ὑπὲρ
τούτων ἀμφοτέρων, εἰ δέοι, μαχομένους ἀποθνῄσκειν.
15 τοσοῦτον δ' ἐφρόνουν ἀμφότεροι, ὥσθ' οἱ μὲν μετ' Εὐ-
ρυσθέως οὐδὲν παρ' ἑκόντων | ἐζήτουν εὑρίσκεσθαι,
Ἀθηναῖοι δὲ οὐδ' ⟨ἂν⟩ ἠξίουν Εὐρυσθέα αὐτὸν ἱκε-
τεύοντα τοὺς ἱκέτας αὐτῶν ἐξελεῖν. παραταξάμενοι δ'
ἰδίᾳ δυνάμει τὴν ἐξ ἁπάσης Πελοποννήσου στρατιὰν
ἐλθοῦσαν ἐνίκων μαχόμενοι, καὶ τῶν Ἡρακλέους παίδων
τὰ μὲν σώματα εἰς ἄδειαν κατέστησαν, ἀπαλλάξαντες δὲ
τοῦ δέους καὶ τὰς ψυχὰς ἠλευθέρωσαν, διὰ δὲ τὴν τοῦ